μέγαν καὶ ἐπέθεντο σποδὸν [40]καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν 40
γῆν καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν τῶν σημασιῶν καὶ ἐβόησαν εἰς
οὐρανόν. [41]τότε ἐπέταξεν Ιουδας ἀνδράσιν πολεμεῖν τοὺς ἐν τῇ 41
ἄκρᾳ, ἕως καθαρίσῃ τὰ ἅγια. [42]καὶ ἐπελέξατο ἱερεῖς ἀμώμους θε- 42
λητὰς νόμου, [43]καὶ ἐκαθάρισαν τὰ ἅγια καὶ ἦραν τοὺς λίθους τοῦ 43
μιασμοῦ εἰς τόπον ἀκάθαρτον. [44]καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσια- 44
στηρίου τῆς ὁλοκαυτώσεως τοῦ βεβηλωμένου, τί αὐτῷ ποιήσωσιν·
[45]καὶ ἔπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ καθελεῖν αὐτό, μήποτε γένηται 45
αὐτοῖς εἰς ὄνειδος ὅτι ἐμίαναν τὰ ἔθνη αὐτό· καὶ καθεῖλον τὸ
θυσιαστήριον [46]καὶ ἀπέθεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου ἐν 46
τόπῳ ἐπιτηδείῳ μέχρι τοῦ παραγενηθῆναι προφήτην τοῦ ἀποκρι-
θῆναι περὶ αὐτῶν. [47]καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον 47
καὶ ᾠκοδόμησαν θυσιαστήριον καινὸν κατὰ τὸ πρότερον. [48]καὶ 48
ᾠκοδόμησαν τὰ ἅγια καὶ τὰ ἐντὸς τοῦ οἴκου καὶ τὰς αὐλὰς ἡγία-
σαν [49]καὶ ἐποίησαν σκεύη ἅγια καινὰ καὶ εἰσήνεγκαν τὴν λυχνίαν 49
καὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς τὸν
ναόν. [50]καὶ ἐθυμίασαν ἐπὶ τὸ θυσιαστήριον καὶ ἐξῆψαν τοὺς λύ- 50
χνους τοὺς ἐπὶ τῆς λυχνίας, καὶ ἔφαινον ἐν τῷ ναῷ. [51]καὶ ἐπέθηκαν 51
ἐπὶ τὴν τράπεζαν ἄρτους καὶ ἐξεπέτασαν τὰ καταπετάσματα. καὶ
ἐτέλεσαν πάντα τὰ ἔργα, ἃ ἐποίησαν. [52]καὶ ὤρθρισαν τὸ πρωὶ τῇ 52
πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐνάτου (οὗτος ὁ μὴν Χασελευ)
τοῦ ὀγδόου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους [53]καὶ ἀνήνεγ- 53
καν θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτω-
μάτων τὸ καινόν, ὃ ἐποίησαν. [54]κατὰ τὸν καιρὸν καὶ κατὰ τὴν 54
ἡμέραν, ἐν ᾗ ἐβεβήλωσαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν
ᾠδαῖς καὶ κιθάραις καὶ κινύραις καὶ κυμβάλοις. [55]καὶ ἔπεσεν πᾶς 55
ὁ λαὸς ἐπὶ πρόσωπον καὶ προσεκύνησαν καὶ εὐλόγησαν εἰς οὐρα-
νὸν τὸν εὐοδώσαντα αὐτοῖς. [56]καὶ ἐποίησαν τὸν ἐγκαινισμὸν τοῦ 56
θυσιαστηρίου ἡμέρας ὀκτὼ καὶ προσήνεγκαν ὁλοκαυτώματα μετ᾽
εὐφροσύνης καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως. [57]καὶ κατ- 57
εκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς καὶ
ἀσπιδίσκαις καὶ ἐνεκαίνισαν τὰς πύλας καὶ τὰ παστοφόρια καὶ
ἐθύρωσαν αὐτά. [58]καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ 58

39 fin. SLpLa†] + επι την κεφαλην αυτων rel. || 40 σημασιων] ασ > S† || 42 επελεξατο SV†] -ξεν rel. || 44 αυτω] -το SL || 47 ελαβεν et ωκοδομησεν et 48 ηγιασεν A† (47 ωκοδομησεν etiam S*†), sed reliquos plurales hab. etiam A || 49 σκευη αγια] τα σκ. τα αγ. A | θυμιαμ. LLa] pr. ολοκαυτωματων και SA || 52 του ενατου > S† | χασαλευ S*†, χας ελεου A†: cf. 1 54; sed in 4 59 ambo χασελευ | ετους > S†, pro του(ult.) ... ετους hab. ScL ετους ... || 54 και 1° > A | εκεινη] + τη ημερα S | κυμβαλοις] pr. εν A || 55 επεσον A | fin. αυτους A || 56 μετ] μετα S† hic, non in 59 || 57 χρυσοις > S*† | ενεκαινισαν] -σεν A || 58 ευφροσ. μεγαλη] tr. SL

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1105 UNIVERSITÄT LEIPZIG